# 28 DECEMBRIE

# ACATISTUL SF.CUVIOS SIMON DE LA SIMONOS PETRAS-ATHOS

## ACATISTIER-GR

www.tezaurliturgic.ro



# ΜΗΝΙ ΔΕΚΕΜΒΡΙῼ ΚΗ΄
# Μνήμη τοῦ Ὁσίου ΣΙΜΩΝΟΣ ΤΟΥ ΜΥΡΟΒΛΥΤΟΥ
# ΟΙΚΟΙ ΚΔ΄

*Ποίημα Ὁσίου Νικοδήμου μοναχοῦ Ἁγιορείτου.*

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Τὸν μυροῤῥόαν ποταμὸν τὸν προερχόμενον, ἐκ τῆς Ἐδὲμ τῆς νοητῆς νῦν προτεθύμημαι, Ἱεροῖς ἐν ἐφυμνίοις οἰκολογῆσαι. Ἀλλὰ δίδου μοι παμμάκαρ χάριν γνώσεως, καὶ ἀπόσμηξον τὸν ῥύπον τῆς καρδίας μου· ἵνα κράζω σοι·

Χαῖρε Σίμων τρισόλβιε,

Ἄγγελος οὐρανόφρων, ἐγνωρίσθης ἐν κόσμῳ, ζωὴν ἀγγελικὴν βιοτεύσας *(ἐκ γ΄)* κἂν γὰρ ἠλαττωμένος βραχὺ τῷ δεσμῷ τῆς ὕλης τῆς σαρκὸς πέφυκας, λυθεὶς δὲ ὤφθης ἄϋλος· διό σοι προσφωνῶ τοιαῦτα·

Χαῖρε νοὸς ἀΰλου φορεῖον·
χαῖρε φωτὸς τοῦ Λόγου δοχεῖον.
Χαῖρε τῆς σοφίας θεότευκτον ἄγαλμα·
χαῖρε ἐπιστήμης θεόμορφον ἴνδαλμα.
Χαῖρε ὕψος θείας γνώσεως δυσερμήνευτον πολλοῖς·
χαῖρε βάθος τῆς φρονήσεως δυσανάβλεπτον νοΐ.
Χαῖρε ὅτι ὡράθης θεωρίας ἀκρότης·
χαῖρε ὅτι ἐφάνης πρακτικῆς ποδηγέτης,
Χαῖρε πλουτῶν ἀρετὴν ἰσάγγελον·

χαῖρε τρυφῶν τὴν γνῶσιν τὴν ἄληστον.
Χαῖρε σφραγὶς νοερᾶς ἀληθείας·
χαῖρε στιλπνὸν ἀγαθοῦ ἐκμαγεῖον.
Χαῖρε Σίμων τρισόλβιε.

Βλέμματα διανοίας, ἐκκαθάρας τρισμάκαρ, ἀπάσης ὑλικῆς προσπαθείας, τὸν ἀόρατον ὡς δυνατόν, ἐθεάσω Πάτερ γεγονὼς ἄϋλος, ἀΰλῳ συγγινόμενος, καὶ μέλπων τούτῳ ἐκ καρδίας·
Ἀλληλούϊα.

Γνωστικῶς συνεκράθης, ἐκ ψυχῆς μυροῤῥόα, Χριστῷ τῷ νοητῷ ὄντως μύρῳ· καὶ ταῖς τούτου ἀεὶ συνών, εὐωδίαις θείαις καὶ διαδόσεσι, μύρον καινὸν ἀνέβλυσας· διό σοι κελαδῶ μυρία·
Χαῖρε κρατὴρ πανευώδους μύρου·
χαῖρε πηγὴ μυριπνόου ῥείθρου.
Χαῖρε μυροδόχον ἀγγεῖον τοῦ Πνεύματος·
χαῖρε μυροθήκη εὐώδης τῆς χάριτος.
Χαῖρε μύρον πολυσύνθετον ἐξ εὐπνόων ἀρετῶν·
χαῖρε φιάλη ἀρώματος, γέμουσα μυρεψικῶν.
Χαῖρε ὁ μύρου θείου τὴν πηγαίαν πλουτήσας·
χαῖρε ὁ κρᾶμα ξένον τοῖς ἀνθρώποις κεράσας.
Χαῖρε Χριστοῦ τὸ θεῖον ὀσφράδιον·
χαῖρε ποδῶν αὐτοῦ τὸ λουτήριον.
Χαῖρε ἀνθῶν πανευόσμων ἡ χύσις,
Χαῖρε παθῶν δυσωδίας ἡ κλύσις.
Χαῖρε Σίμων τρισόλβιε.

Διαπτὰς είς λειμῶνας, τῶν ὁσίων πατέρων, τῷ τρόπῳ φιλοπόνου μελίσσης, κάκ τούτων λογικῶς άπανθῶν, άπεδρέψω μάκαρ ἄνθη μυρίπνοα, σκευάσας έν καρδίᾳ σου, ού μέλι άλλὰ μύρον κράζων·

Ἀλληλούϊα.

Ἐκ τῆς πίστεως Πάτερ, διττὸν φόβον έκτήσω, έκ τούτου δὲ ταπεινοφροσύνην· μεθ' ἣν εύθὺς ὡς χρυσῆν σειράν, έκαρπώσω ὄντως θείαν διάκρισιν, διόρασιν, πρόορασιν, προκήρυξιν, διὸ άκούεις·

Χαῖρε πασῶν άρετῶν τὸ ἅρμα·
χαῖρε πολλῶν μοναζόντων θαῦμα.
Χαῖρε τῆς Τριάδος ὁ οἶκος ὁ πάντερπνος·
χαῖρε Ἠλιοὺ καὶ Προδρόμου ὁμότροπος.
Χαῖρε λύχνε διακρίσεως άπαστράπτων φαεινῶς·
χαῖρε ἄστρον διοράσεως καταυγάζον τοὺς έν γῇ.
Χαῖρε ὅτι λαμβάνεις έν γαστρὶ θεῖον φόβον·
χαῖρε ὅτι καὶ τίκτεις Πνεῦμα τῆς σωτηρίας.
Χαῖρε καρπῶν τοῦ πνεύματος ἔμπλεως·
χαῖρε πασῶν χαρίτων άνάμεστος.
Χαῖρε λαβὼν τὴν ἑπτάδωρον χάριν·
χαῖρε άσκῶν άϋλίαν έν ὕλῃ.
Χαῖρε Σίμων τρισόλβιε.

Ζάλην πᾶσαν τοῦ κόσμου, έκφυγὼν προσωρμίσθης, λιμένι γαληνῷ τῷ τοῦ Ἄθω· καὶ έν τούτῳ πᾶσαν ἁλμυράν, διανηξάμενος βίου τὴν

θάλασσαν, πρὸς ὅρμον νῦν κατήντησας τῆς ἄνω βασιλείας, μέλπων

Ἀλληλούϊα.

Ἡ τοῦ μύρου σου κρήνη, φρέαρ ὕδατος ὤφθη, ῥοιζοῦντος ἀπο τοῦ λιβάνου καὶ τῶν πρώτων μύρων προχοή, νάρδον, κρόκον, κύπρον σμύρναν, κιννάμωμον, πηγάζουσα γνωρίζεται, τοῖς σοὶ βοῶσιν ἐκ ψυχῆς τοιάδε·

Χαῖρε χριστὲ μύρῳ κεχρισμένε·
χαῖρε ναὲ καθιερωμένε.
Χαῖρε ἰαμάτων αὐχῶν τὸ κολλούριον·
χαῖρε ἀρωμάτων πλουτῶν ὀποβάλσαμον.
Χαῖρε ἔλαιον ἀγαλλιάσεως ἱλαρύνον ἡμᾶς·
χαῖρε εὔοσμον ἀλάβαστρον εὐωδιάζον ψυχάς.
Χαῖρε ῥόδων καὶ ἴων αἱμοτόμικτον στάγμα·
χαῖρε στακτῆς εὐώδους τὸ νεκρέγερτον νᾶμα.
Χαῖρε λεπτὸν τοῦ νόμου θυμίαμα·
χαῖρε σεπτὸν κασσίας ἐκπίεσμα.
Χαῖρε σκηνῆς τὸ τετράϋλον χρίσμα·
χαῖρε Καινῆς Διαθήκης τὸ μῖγμα.
Χαῖρε Σίμων τρισόλβιε.

Θαῦμα μέγα ὁρᾶται, πῶς ἡ ἄνικμος λάρναξ, τοῦ θείου καὶ σεπτοῦ σου λειψάνου, μύρων ἀναῤῥοιβδίζει πηγάς, οὐ τέχνη μυρεψικῇ, ἀλλὰ χάριτι· ᾗ σε μύρῳ κατέχρισεν, ὡς ἄνακτα παθῶν, βοῶντα·

Ἀλληλούϊα.

Ἴδιον οὐκ ἐκτήσω, ἐπὶ γῆς θεοφόρε, Χριστόν, δὲ μόνον ἀεὶ ἀνέπνεις Χριστῷ καὶ ἔζης· καὶ πρὸς Χριστόν, ἀφορῶν ἀκλινῶς, τοῦτον ἐκέκτησο, ζωήν, καὶ φῶς, καὶ ἔρωτα· ἀνθ᾽ ὧν καὶ προσφθεγγόμεθά σε·

Χαῖρε σαρκὸς ὁ σταυρώσας πάθη·
χαῖρε θανὼν τοῖς ἐν κόσμῳ πᾶσι.
Χαῖρε ἡσυχίοις νομίμου διδάσκαλος·
χαῖρε ἐγκρατείας κανὼν ὁ εὐθύτατος.
Χαῖρε θερμὸν ἱλαστήριον τῆς νοερᾶς προσευχῆς·
χαῖρε θεῖον οἰκητήριον καρδιακῆς φυλακῆς.
Χαῖρε ὅτι εἰσέδυς ἀπαθείας εἰς γνόφον·
χαῖρε ὅτι λαμβάνεις ἐν πλαξὶ θεῖον νόμον.
Χαῖρε συχνὸν Χριστοῦ ἀδολέσχημα·
χαῖρε ναοῦ τὸ ἄνω ἀνάθημα.
Χαῖρε ζυγὸν τοῦ Χριστοῦ ὁ βαστάσας·
χαῖρε αὐλαῖς πρωτοτόκων σκηνώσας.
Χαῖρε Σίμων τρισόλβιε.

Κέδρος οὐρανομήκης, ἐν ἐρήμοις ἀνύδροις, ἐξήνθησας ῥοαῖς τῶν δακρύων, πιαινόμενος καὶ ὡς ζωῆς ξύλον, μέσον παραδείσου ἐβλάστησοις, Θεῷ καρποὺς ἀσκήσεως, προσφέρων τε καὶ πόθῳ ᾄδων.

Ἀλληλούϊα.

Λόγοις ἐν τῇ ζωῇ σου, τὴν σὴν ποίμνην ἐκθρέψας, ὡδήγησας ζωῆς ἐπὶ χλόην· μετὰ θάνατον δ᾽ αὖ ὡς πατήρ, ψυχοτρόφον ταύτῃ θηλὴν προτέθεικας, τὴν

κρήνην τὴν τῶν μύρων σου, ἐξ ἧς τιθηνουμένη κράζει·

Χαῖρε Δαβὶδ φιλάδελφον μύρον·
χαῖρε τερπνὴ τοῦ Ἀέρμων δρόσος.
Χαῖρε τῆς Τριάδος εὐῶδες κειμήλιον·
χαῖρε κινναμώμου τὸ ἄνθος τὸ τίμιον.
Χαῖρε στήλη ἐλαιάλειπτος ὡς ἡ πρὶν τοῦ Ἰακὼβ·
χαῖρε χύτρα μυροσύνθετος πνέουσα εὐωδιῶν.
Χαῖρε κῆπε καρύας τῆς ἀρωματοπνόου·
χαῖρε λειμὼν ὁ γέμων πάντων τῶν ἀκροδρύων.
Χαῖρε ροὴ πανολβία χύσεως·
χαῖρε ὀσμὴ τῆς διττῆς ὀσφρήσεως.
Χαῖρε σκηνὴ μυστικῶς κεχρισμένη·
χαῖρε σεπτὴ καὶ ἡδύπνους οἰνάνθη.
Χαῖρε Σίμων τρισόλβιε.

Μύρον ἐξεκενώθη, τῇ ψυχῇ σου ἀφθόνως, καυθὲν τοῦ Παρακλήτου τῇ θέρμῃ· κῆπον γὰρ ᾀσματικῶς τὸν σόν, πνεύσας νότος, ὁ θερμὸς Χριστοῦ πόθος σου, ἀρώματα ἀπέῤῥευσε, θαυμάτων πλήρη τοῖς βοῶσιν·
Ἀλληλούϊα.

Νέα ἐπωνομάσθη, Βηθλεὲμ ἡ σὴ μάνδρα, ἣν ἤγειρας εἰς δόξαν Κυρίου, ἐπ᾽ αὐτῆς νυκτὶ Χριστοῦ γεννῶν, θεωρήσαντός σου ἀστέρα ἔκλαμπρον, ἐν ᾗ καὶ πλήθη ἤθροισας μιγάδων σοὶ βοώντων·

Χαῖρε Μονῆς τῆς Πέτρας δομήτωρ·
χαῖρε ναοῦ τοῦ θείου κοσμήτωρ.

Χαῖρε μοναζόντων ἀγέλης ὁ ὄρχαμος·
χαῖρε ὥσπερ στύλος αὐτῆς προηγούμενος.
Χαῖρε ὅτι ᾠκοδόμησας ἱερὸν ὡς Σολομών·
χαῖρε ὅτι καὶ ἀνέθηκας τῷ Βασιλεῖ καὶ Θεῷ.
Χαῖρε χειμαζομένων ὁ ἀκύμαντος ὅρμος·
χαῖρε πεπλανημένων ὁδηγὸς καὶ προστάτης.
Χαῖρε λαμπρὰ καθέδρα αἰσθήσεως·
χαῖρε κλεινὸν πυξίον τοῦ πνεύματος.
Χαῖρε ψυχῶν φροντιστήριον πήξας·
χαῖρε πολλῶν ὁδηγὸς χρηματίσας.
Χαῖρε Σίμων τρισόλβιε.

Ξενηκούστων θαυμάτων, αὐτουργὸς ἐγεγόνεις, καὶ ζῶν καὶ μετὰ θάνατον Πάτερ· λίθον γὰρ ὑπερμεγέθη ταῖς χερσίν, ἀναλαβὼν κατωμαδὸν ἐβάστασας, ὡς φύλλον εὐτελέστατον ἐγείρων τοὺς ὁρῶντας ψάλλειν·
Ἀλληλούϊα.

Ὁ ἱδρὼς τῶν ἀγώνων, καὶ ἰκμὰς τῆς σαρκός σου, εἰς μύρου μετημείφθη οὐσίαν· ἄνθραξι γὰρ ὁλοκαυτωθεὶς ἐρημικοῖς, ὥσπερ τερπνὸν θυμίαμα, προσήχθης τῷ Δεσπότη σου· διὸ καὶ παρ’ ἡμῶν ἀκούεις·
Χαῖρε ζωῆς ξένη ἀμβροσία·
χαῖρε πνοῆς ἀνθηδὼν ὡραία.
Χαῖρε παραδείσου πλουτήσας τὴν εὔπνοιαν·
χαῖρε τοῦ λιβάνου δεικνὺς τὴν ἐνέργειαν.
Χαῖρε ἄμπελε κυπρίζουσα τῶν ἀνθέων ταῖς πνοαῖς·

χαῖρε σύμβολον λαμπρότητος καὶ ἀγνείας ἀκραιφνοῦς.
Χαῖρε τῆς σμυρναλόης τὸ ἀμβρόσιον ἆσθμα·
χαῖρε κηρομαστίχης τὸ ἡδύπνοον κρᾶμα.
Χαῖρε πλουτῶν τὸ κέρας τοῦ χρίσματος·
χαῖρε Ἰνδῶν ἡ γῆ ἡ πανεύοσμος.
Χαῖρε ἀτμὶς ἡμαγμένων ἱδρώτων·
χαῖρε ῥανὶς μύρου τοῦ ἀκενώτου.
Χαῖρε Σίμων τρισόλβιε.

Πανευώδη σε κῆπον, καὶ ὡραῖον λειμῶνα, πασῶν τῶν ἀρετῶν, πεπυκασμένον ἀμφιλαφῶς, ταῖς ἀναδενδράσι πάντες γινώσκομεν, ὡς νάματα τὰ μύρα σου, προχέοντα τοῖς μελῳδοῦσιν οὕτως.
Ἀλληλούϊα.

Ῥώμῃ καὶ παντευχίᾳ, τοῦ σταυροῦ ὡπλισμένος, συνέτριψας τοῦ δράκοντος κάραν· τοῖς οὐραίοις σε τύφοντα γάρ, καὶ ὁλκῷ ὀλέσαι ἐκμηχανώμενον, ἠφάνισας καὶ ᾄσματα τῆς νίκης σου οἷα ἀκούεις·
Χαῖρε λαμπρὸν εὐδρομούντων κλέος·
χαῖρε στεῤῥὸν κλονουμένων τεῖχος.
Χαῖρε τῆς ἐρήμου τερπνότατον βλάστημα·
χαῖρε ἀπαθείας τῆς ἄκρας ἐντρύφημα.
Χαῖρε ὅτι κατεφρόνησας τῶν ῥεόντων καὶ φθαρτῶν·
χαῖρε ὅτι καὶ ἐπέφθασας ἔσχατον τῶν ἐφετῶν.
Χαῖρε ὁ ἐκτεφρώσας τῶν δαιμόνων τά θράση·
χαῖρε ὁ ἐκνευρώσας τὰς αὐτῶν μηχανίας.

Χαῖρε εὐχῇ ὁ κτείνας τὸν δράκοντα·
χαῖρε λαμπρὰ ἐχθροῦ ἄρας τρόπαια.
Χαῖρε δι᾽ οὗ ὁ Σατὰν κατησχύνθη·
χαῖρε δι᾽ οὗ ὁ Χριστὸς ἐδοξάσθη.
Χαῖρε Σίμων τρισόλβιε.

Σώματος κατευνάσας, ἐμφυλίους δυνάμεις, καὶ πᾶσαν ὑπερβὰς διττὴν κτίσιν, τῷ ὑπέρ πᾶσαν γνῶσιν αὐτῷ, ὑπεραγνώστως Πάτερ προσωμίλησας, δι᾽ ἄκρας καθαρότητος, καὶ θεομιμησίας ψάλλων·
Ἀλληλούϊα.

Τίς αὕτη ἐξ ἐρήμου, ἀναβαίνουσα φάσκει, ψυχῇ τοῦ Σίμωνος ὁ νυμφίος, ἀπὸ πάντων τῶν κονιορτῶν τεθυμιωμένη σμύρναν καὶ λίβανον; νάρδου είς οἶκον εἴσελθε, τρυφήσουσα καὶ ἀκουτισθεῖσα·
Χαῖρε θνητῶν ἀθάνατον νέκταρ·
χαῖρε βροτοῖς ἀνθηφόρον ἔαρ.
Χαῖρε κυπαρίσσου καὶ κέδρου ἡδύπνοια·
χαῖρε πάντων ξύλων λιβάνου ἀπόῤῥοια.
Χαῖρε μάννα παρεχόμενον ἀθανάτους μυρισμούς·
χαῖρε μέλι προχεόμενον ἐκ τῆς Πέτρας γλυκασμούς.
Χαῖρε ὅτι ἐφάνης ὄρνις κινναμοφόρος·
χαῖρε ὅτι ἐδείχθης ῥοῦς ἀρωματοφόρος.
Χαῖρε ψυχῶν εὐώδης ἀντίληψις·
χαῖρε σαρκὸς μυρίζουσα ἴασις.
Χαῖρε ὀσμὴ σαρκοφάγα νεκροῦσα·

χαῖρε πνοὴ κεκμηκότας ζωοῦσα.
Χαῖρε Σίμων τρισόλβιε.

Ὑπερβὰς θαυμασίως, τὴν τῆς ὕλης δυάδα, ἀνῆλθες ἀπαθείας είς ὅρος· καθαρθεὶς δὲ ψυχῆς τὸ τριμερές, τῆς Τριάδος ὤφθης ἐπόπτης ἄμεσος, ἐν μύροις δοξαζόμενος, πιστοῖς δὲ γεραιρόμενος, καὶ μέλπων.
Ἀλληλούϊα.

Φωτοβόλοις ἀκτῖσιν ἀρχιφώτου Τριάδος, ηὑγάσθης ὀπτικῷ διανοίας, καὶ εἶδες ἀστροσύνθετον φῶς, καὶ νυκτὸς κρατούσης ὡς ἄλλος ἥλιος, ἀσκήσει ὑπερέλαμψας· διὸ προσαγορεύομέν σε·
Χαῖρε δι᾽ οὗ τὸ φῶς καθωράθη·
χαῖρε δι᾽ οὗ τὸ σκότος ἠλάθη.
Χαῖρε βασιλείας τῆς ἄνω συμμέτοχε·
χαῖρε τῶν ἁγίων Ἀγγέλων συνόμιλε.
Χαῖρε ἔσοπτρον ἐμφάσεων καθαρῶν χωρητικόν·
χαῖρε ἄξιον θησαύρισμα τῶν Χριστοῦ μακαρισμῶν.
Χαῖρε ὅτι κατέστης ἄστρου ξένου διόπτρα·
χαῖρε ὅτι κατεῖδες ὑπὲρ μάγους ἀστέρα.
Χαῖρε φωστὴρ ἡλίου λαμπρότερε·
χαῖρε λαμπτὴρ ἀστέρων φανότερε.
Χαῖρε στενὴν ἀτραπὸν διοδεύσας·
χαῖρε Ἐδὲμ πλατυσμὸν κατοικήσας.
Χαῖρε Σίμων τρισόλβιε.

Χαρᾶς ἀνεκλαλήτου, καὶ ζωῆς ἀκηράτου, τρυφᾷς ἐν οὐρανοῖς μετ' Ἀγγέλων· σπείρας γὰρ μετὰ δακρύων πρίν, θερίζεις νῦν μετ' εὐφροσύνης Ὅσιε, τοὺς καρποὺς κομιζόμενος, τῶν σῶν ἀγωνισμάτων ψάλλων·

Ἀλληλούϊα.

Ψάλλοντές σου τὴν χάριν τὴν τῶν μύρων κροτοῦμεν, ἑστῶτες ἐν ναῷ σου ἁγίῳ· μόνος γὰρ ἢ μετ' ὀλίγων σύ, Μυροβλύτης ὤφθης Σίμων μακάριε· διὸ εἰς ὀσμὴν μύρων σου, προστρέχομεν πόθῳ βοῶντες·

Χαῖρε μυκτὴρ ὡς πύργος λιβάνου·
χαῖρε ὀσμὴ καπνοῦ τοῦ εὐώδους.
Χαῖρε ἀρωμάτων γηΐνων ἐπέκεινα·
χαῖρε οὐρανίων Ἀγγέλων τὸ ἥδυσμα.
Χαῖρε ἔκσπασμα ζωήῤῥυτον ἐκλεκτῆς ῥοδωνίας·
χαῖρε εὔοσμε διάδοσις τῆς λευκῆς ἰωνιᾶς.
Χαῖρε ὅτι ὡράθης ὡς ποιμαίνων ἐν κρίνοις·
χαῖρε ὅτι ἐγνώσθης νεμόμενος ἐν μύροις.
Χαῖρε ὀσμῆς οὐρανίου μίμημα·
χαῖρε Θεοῦ τῆς πόλεως ὅρμημα.
Χαῖρε οἷς μὲν ὀσμὴ ζωηφόρος·
χαῖρε οἷς δὲ ὀσμὴ τοῦ θανάτου.
Χαῖρε Σίμων τρισόλβιε.

Ὦ τρισόλβιε Πάτερ, ὁ λαμπρὸς μὲν ἐν πᾶσι, λαμπρότερος δὲ μᾶλλον ἐν μύροις· (ἐκ γ΄) δυσωδίαν

πᾶσαν τῶν παθῶν, ψυχῶν καὶ σωμάτων ἡμῶν ἀπόσμηξον, καὶ εὐωδίας πλήρωσον τῶν μύρων σου, τοὺς ἐκβοῶντας·

Ἀλληλούϊα.